# TEZAUR LITURGIC

## 12 MAI

## +CHIRIL KOGHERAKIS, MITROPOLITUL RHODOSULUI

# PARACLISUL SF.IERARH EPIFANIE, ARHIEPISCOPUL SALAMINEI CIPRULUI

**RHODOS,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΕΠΙΦΑΝΙΟΝ, ΕΠΙΣΚΟΠΟΝ ΚΥΠΡΟΥ

**Ποίημα Μητροπολίτου Ῥόδου Κυρίλλου Κογεράκη**

Ευλογήσαντος του Ιερέως το «Κύριε εισάκουσον» μεθ’ ο το Θεός Κύριος και τα κάτωθι Τροπάρια.

Ήχος δ’. Ο υψωθείς εν τω Σταυρώ.

Επιφανίου του σοφού Ιεράρχου, δεύτε τελέσωμεν την πάμφωτον μνήμην, και ευλαβώς βοήσωμεν αυτώ οι πιστοί˙ Ιεράρχα Όσιε, τους πιστώς πεποιθότας, τη στερρά πρεσβεία σου, πάσης ρύσαι ανάγκης, και των δεινών εν βίω συμφορών, ως παρρησίαν πλουτών προς τον Κύριον.

Δόξα. Το αυτό. Και νύν. Θεοτοκίον.

Ου σιωπήσομεν ποτέ, Θεοτόκε…

Ο Ν’ και ο Κανών του Αγίου

Ωδή α’. Ήχος πλ. δ’. Υγράν διοδεύσας.

Συνών των Αγγέλων ταις στρατιαίς, εν Σιών τη άνω, Επιφάνιε ιερέ, τας ικετηρίους μου δεήσεις, ως συμπαθής και φιλόστοργος πρόσδεξαι.

Θαυμάτων τας χάριτας ειληφώς, Ποιμένων το κλέος, Επιφάνιε ιερέ, κατ’ άμφω νοσούντα με αθλίως καθικετεύω σε πόθω, θεράπευσον.

Ψυχήν μου ευσπλάχνως την χαμερπήν, ουράνωσον πάτερ, Επιφάνιε ιερέ, ταις πανευπροσδέκτοις σου πρεσβείαις, προς τον Δεσπότην απάσης της κτίσεως.

Θεοτοκίον.

Τεκούσα τον Κύριον του παντός, την του Παραδείσου, πύλην ήνοιξας τοις βροτοίς˙ όθεν Παντευλόγητε Μαρία, ευγνωμοσύνης σοι ύμνον προσάδομεν.

Ωδή γ’. Συ ει το στερέωμα.

Το χρίσμα του Πνεύματος, εισδεδεγμένος ιέρευσας, αμέμπτως Θεώ τω εν Τριάδι, ιερέ Επιφάνιε.

Ειρήνην την κρείττονα, τω ταπεινώ δος ικέτη σου, ο του Ειρηνάρχου Ιεράρχης, ιερέ Επιφάνιε.

Χορήγει τα κρείττονα, τοις ευλαβώς ευφημούσι σε, ως ένθεον φίλον του Σωτήρος, ιερέ Επιφάνιε.

Θεοτοκίον.

Αγγέλων εξέστησαν, Θεοκυήτορ τα τάγματα, ορώντες σε φέρειν εν αγκάλαις, της Τριάδος τον δεύτερον.

Διάσωσον τους ευλαβώς Επιφάνιε σε υμνούντας, από κινδύνων και πάσης κακώσεως, ταις ιεραίς σου πρεσβείαις προς τον Σωτήρα.

Επίβλεψον εν ευμενεία Πανύμνητε Θεοτόκε, επί την εμήν χαλεπήν του σώματος κάκωσιν, και ίασαι της ψυχής μου το άλγος.

Κάθισμα.Ήχος β'. Πρεσβεία θερμή.

Εμπρέπων λαμπρώς, σοφίας τοις χαρίσμασι, ποιμήν ιερός και Ιεράρχης άριστος, εδείχθης Επιφάνιε˙ όθεν πάντες πίστει σοι κράζομεν˙ αεί δυσώπει πάτερ τον Θεόν, δοθήναι ημίν το μέγα έλεος.

Ωδή δ'. Εισακήκοα Κύριε.

Αγαπήσας τον Κύριον, ολικώς μακάριε Επιφάνιε, τον Σταυρόν αυτού εβάστασας, ως ενθέου φρονήσεως έμπλεως.

Την καρδίαν μου πλούτισον, τω αμέτρω πλούτω της σης χρηστότητος, Ιεράρχα Επιφάνιε, ο πλουτήσας εν έργοις τοις κρείττοσι.

Προς νομάς σωτηρίου με, ποίμανον θεόληπτε Επιφάνιε˙ συ ποιμήν γαρ ώφθης κράτιστος, ευδοκία του κρείττονος Όσιε.

Θεοτοκίον.

Αμαρτίας αναίρεσις, της αρχαίας πέφηνας Θεονύμφευτε, τον Χριστόν αφράστως τέξασα, δι᾽ημάς εν δυσί υποστάσεσι.

Ωδή ε'. Φώτισον ημάς.

Των αιρετικών, την οφρύν λαμπρώς κατήσχυνας, ταις πανσόφοις και λαμπραίς σου διδαχαίς, Ιεράρχα θεορρήμον Επιφάνιε.

Ψεύδους κραταιώς, τον δυνάστην καταβέβληκας, ου της μήνιδος διάσωσον ημάς, ανωτέρους Ιεράρχα Επιφάνιε.

Τω Παμβασιλεί, εν υψίστοις παριστάμενος, των υμνούντων ευλαβώς σε εν ωδαίς, Ιεράρχα Επιφάνιε μνημόνευε.

Θεοτοκίον.

Άνθος τον Χριστόν, θαυμαστώς ημίν εξήνθησας, η βλαστήσασα εκ ρίζης Ιεσαί, ράβδος θεία και αγία Μητροπάρθενε.

Ωδή στ'. Την δέησιν.

Ηγάπησας θεοσόφως ένδοξε, τον εν ξύλω φιλανθρώπως παθόντα, καταυγασθείς την καρδίαν ακτίσι, της αληθούς Επιφάνιε γνώσεως. Όθεν αυτού ως νουνεχής, τας προστάξεις εν βίω επλήρωσας.

Σοφίας προσειληφώς τας χάριτας, εν σοφία την λαχούσάν σοι ποίμνην, προς σωτηρίου νομάς ανυστάκτως, ώ Επιφάνιε πάτερ εποίμανας˙ όθεν καμέ προς τας νομάς, της αψεύστου ζωής καθοδήγησον.

Εκύκλωσαν την ψυχήν μου Όσιε, ώσπερ κύνες υλακτούντες τα πάθη˙ συ δε ως πέλων ευήκοος πάσι, ελέησόν με εν πίστει φωνούντά σε, Ιεραρχών η καλλονή, Επιφάνιε πάτερ τρισόλβιε.

Θεοτοκίον.

Βοήθειαν προς το σώζειν κέκτημαι, σε ετοίμην αειπάρθενε Κόρη˙ διο προσπίπτω σοι όλη καρδία, και ανακράζω εν θλίψει και δάκρυσι, του αιωνίου με πυρός, τη πρεσβεία σου ρύσαι ως εύσπλαχνος.

Διάσωσον τους ευλαβώς Επιφάνιε σε υμνούντας, από κινδύνων και πάσης κακώσεως, ταις ιεραίς σου πρεσβείαις προς τον Σωτήρα.

Άχραντε, η δια λόγου τον Λόγον ανευρμηνεύτως, επ’ εσχάτων των ημερών δυσώπησον, ως έχουσα μητρικην παρρησίαν.

Κοντάκιον. Ήχος β’. Τοις των αιμάτων

Αναδειχθείς εν σοφία περίφημος, αιρετικών τα απύλωτα στόματα, τοις θείοις σου φθόγγοις

εφίμωσας, και την ορθόδοξον πίστην εκράτυνας, Οσίων λαμπάς Επιφάνιε.

Προκείμενον. Ήχος δ’.

Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην και οι όσιοί σου αγαλλιάσονται.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος του οσίου αυτού.

Ευαγγέλιον. Εκ του κατά Ματθαίον (Κεφ. ε’. 14-19)

Είπεν ο Κύριος τοις εαυτού Μαθηταίς˙ Υμείς εστέ το φως του κόσμου˙ ου δύναται πόλις κρυβήναι, επάνω όρους κειμένη˙ ουδέ καίουσι λύχνον, και τιθέασιν αυτόν υπό το μόδιον, άλλ’ επί την λυχνίαν, και λάμπει πάσι τοις εν τη οικία. Ούτω λαμψάτω το φως υμών έμπροσθεν των ανθρώπων, όπως ίδωσιν υμών τα καλά έργα, και δοξάσωσι τον Πατέρα υμών τον εν τοις ουρανοίς. Μη νομίσητε ότι ήλθον καταλύσαι τον νόμον ή τους προφήτας, ούκ ήλθον καταλύσαι, αλλά πληρώσαι. Αμήν λέγω υμίν. Έως αν παρέλθη ο ουρανός και η γη, ιώτα εν, ή μία κεραία ου μη

παρέλθη από του νόμου, έως αν πάντα γένηται. Ος εάν λύση μίαν των εντολών τούτων των ελαχίστων, και διδάξη ούτω τους ανθρώπους, ελάχιστος κληθήσεται εν τη βασιλεία των ουρανών˙ ος δ' αν ποιήση και διδάξη, ούτος μέγας κληθήσεται εν τη βασιλεία των ουρανών.

Δόξα Πατρί. Ταις του Ιεράρχου... Και νυν. Ταις της Θεοτόκου...

Προσόμοιον. Ήχος πλ. β'. Τριήμερος ανέστης.

Στίχ. Ελέησον με ο Θεός κατά το μέγα έλεος σου και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημά μου.

Χριστόν από ψυχής ολικώς, θεόφρων Επιφάνιε αγαπήσας, τα θελήματα αυτού, επλήρωσας πανσόφως, ων πληρωτήν ευχαίς σου, ταις ιεραίς καμέ ανάδειξον.

Σώσον ο Θεός τον λαόν σου...

Ωδή ζ'. Οι εκ της Ιουδαίας.

Προσδεχόμενος πίστει, του Σωτήρος της δόξης την επιφάνειαν, σωφρόνως και δικαίως, εβίωσας εν κόσμω, ιερέ Επιφάνιε, και μεταστάς προς Θεόν, ζωήν την θείαν εύρες.

Ευμενής μοι ταις θείαις, και σεπταίς σου πρεσβείαις Χριστόν απέργασαι˙ το δύνασαι γαρ έχεις, αξίως ως βαστάσας, ιερέ Επιφάνιε, αυτού τον θείον ζυγόν, επ' ώμων σου προθύμως.

Ασινείς διατήρει, τους προστρέχοντας πίστει, τη προστασία σου από αμπλακημάτων σαρκός και νοσημάτων, θαυμαστέ Επιφάνιε˙ παρά Θεώ γαρ πολλήν, την παρρησίαν έχεις.

Θεοτοκίον.

Κλίμαξ ώφθης αγία, και μετάρσιος Κόρη, αειμακάριστε, δι' ής προς σωτηρίας, ανέρχονται το ύψος, οι τον άφραστον τόκον σου, υμνολογούντες αεί, θερμότητι καρδίας.

Ωδή η’. Τον Βασιλέα.

Εξανατείλας, ώσπερ αστήρ εωσφόρος, Επιφάνιε, την κτίσην καταυγάζεις, ταις φωτοπαρόχοις, της χάριτος ακτίσι.

Ενίσχυσόν με, τη ιερά σου δυνάμει, Επιφάνιε Πατέρων η λαμπρότης, φέρειν τα εν βίω, επίπονα ηδέως.

Την των παθών μου, ζοφωδεστάτην ομίχλην, Επιφάνιε διάλυσον ακτίσι, της παμφαεστάτης, και θείας χάριτός σου.

Θεοτοκίον.

Την πρώτην Εύαν, Θεοκυήτορ Μαρία, απελύτρωσας κατάρας της αρχαίας, τέξασα αρρήτως, τον ένα της Τριάδος.

Ωδή θ’. Κυρίως Θεοτόκον.

Θυσίαν σαυτόν ζώσαν, δια πολιτείας, ακραιφνεστάτης Κυρίω προσήνεγκας, ώ Επιφάνιε πάτερ, Τριάδος πρόβολε.

Ψυχής μου τας αρούρας, άρδευσον πλουσίως, της ιεράς χάριτός σου τω ύδατι, ώ Επιφάνιε πάτερ, Οσίων καύχημα.

Πυρός με του αστέκτου, και ατελευτήτου, ταις ιεραίς προς Χριστόν μεσιτείαις σου, ώ Επιφάνιε ρύσαι, ως συμπαθέστατος.

Θεοτοκίον.

Υπερδεδοξασμένη, Μήτερ του Υψίστου, ταις μητρικαίς σου πρεσβείαις διάσωζε, από παντοίων κινδύνων, τους σε γεραίροντας.

Το Άξιον εστί και τα Μεγαλυνάρια.

Χαίροις της σοφίας μύστης λαμπρός, και της ευσεβείας, στύλος θείος και αρραγής˙ χαίροις ορθοδόξων, υπέρμαχος δογμάτων, και αληθείας πύργος, ώ Επιφάνιε.

Τη ασκήσει πάτερ προκαθαρθείς, καθαρός εν πάσι, αναδέδειξαι λειτουργός, και νυν του Κυρίου, παρίστασαι τω θρόνω, ποδήρει Ιερέων, κατακοσμούμενος.

Χαίροις ο θεόρρυτος ποταμός, ο την Οικουμένην, καταρδεύσας πάτερ σοφέ˙ χαίροις ευσεβείας, φωστήρ ο φωτοβόλος, ο θαυμαστώς εκλάμπων, ημίν τιμώσί σε.

Ψεύδους τον αρχέκακον αρχηγόν, κατήσχυνας πάτερ, Επιφάνιε ιερέ, τη παρά Κυρίου, δοθείση σοι σοφία, και βίου εναρέτου, τοις κατορθώμασι.

Του Επιφανίου ταις ιεραίς, πρεσβείαις Οικτίρμων, την ειρήνην σου δος ημίν, και της του βελίαρ, κακίας ανωτέρους, συντήρει τους υμνούντας, το θείον κράτος σου.

Χαίροις η θεόληπτος ξυνωρίς, των της εκκλησίας, θεοσόφων Ιεραρχών, Ανδρέα της Κρήτης, συν τω Επιφανίω, της εν Χριστώ σοφίας, μύσται πανάριστοι.

Πάσαι των Αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου, Αποστόλων η δωδεκάς, οι Άγιοι Πάντες, μετά της Θεοτόκου, ποιήσατε πρεσβείαν, εις το σωθήναι ημάς.

Το Τρισάγιον και το Απολυτίκιον.

Ήχος α’. Της ερήμου

Αυγασθείς την καρδίαν, ταις ακτίσι της χάριτος, του Χριστού οπίσω θεόφρον, ακλινώς ηκολούθησας˙ και χρίσματι του Πνεύματος χρισθείς, ποιμήν της εκκλησίας θαυμαστώς, των αιρέσεων κατήσχυνας την οφρύν, των λόγων σου τη σοφία. Δόξα τω σε σοφίσαντι Χριστώ, δόξα τω σε θαυμαστώσαντι, δόξα τω σε δοξάσαντι λαμπρώς, σοφέ Επιφάνιε.

Είτα Εκτενής παρά του Ιερέως και απόλυσις μεθ’ ή το κάτωθι Τροπάριο.

Ήχος β’. Ότε εκ του ξύλου.

Χαίροις Ιεράρχα του Χριστού, ο κεκοσμημένος σοφίας, ταις θείαις χάρισι˙χαίροις το του Πνεύματος, λαμπρόν κειμήλιον˙ χαίροις στύλος ο άσειστος, της ορθοδοξίας˙ χαίροις των αιρέσεων, μάχαιρα δίστομος. Τους ειλικρινώς σε τιμώντας, ρύσαι Επιφάνιε πάτερ, της πικράς μανίας του αλάστορος.

Την πάσαν ελπίδα μου, εις σε ανατίθημι, Μήτερ του Θεού φύλαξόν με υπό την σκέπην σου.

Δέσποινα πρόσδεξαι, τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

Τη πρεσβεία Κύριε πάντων των Αγίων, και της Θεοτόκου, την σην ειρήνην δος ημίν, και ελέησον ημάς, ως μόνος οικτίρμων.

ΔΙΣΤΙΧΟΝ

Επιφάνιε λαμπρώς επίφανόν μοι
Κωνσταντίνω υμνούντί σε σην χάριν.

